SOKRATES – Hiçbir şekilde, bile bile eğrilik etmemek gerektiğini mi söylüyoruz, yoksa yerine göre şu durumda gerekir, bu durumda gerekmez mi diyoruz? Aslında suç işlemek, daha önce de kabul ettiğimiz gibi, hiç de iyi ve doğru bir şey olmaz, değil mi? Yoksa daha önce üzerinde uyuştuğumuz bütün o düşünceler birkaç gün içinde yabana mı atıldı? Demek ki Kriton, bu yaştaki

πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι ἐλάθομεν
b ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; Ἢ παντὸς μᾶλλον οὕτως ἔχει ὥσπερ τότε ἐλέγετο ἡμῖν, εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή· καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν εἴτε καὶ πραότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; Φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ δῆτα.

ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

c ΚΡ. Οὐ φαίνεται.

ΣΩ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩ. Τί δαί; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασιν, δίκαιον, ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν.

d Καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν ὅπως

biz koca adamlar deminden beri birbirimizle ciddi ciddi
b konuşurken, farkında olmadan çocuklar gibi davrandık. Neyse, kesin olarak, demin de söylediğimiz gibi, çoğunluk desin demesin, ister bundan daha ağır felaketlere uğrayalım, ister daha hafiflerine, eğri bir davranışta bulunmak bunu yapan için her durumda kötü ve utanç verici değil midir? Böyle olduğunu iddia ediyor muyuz, etmiyor muyuz?

KRITON – İddia ediyoruz.

SOKRATES – Öyleyse, hiçbir şekilde eğri davranışta bulunmamak gerekir.

KRITON – Hiçbir şekilde.

SOKRATES – Hiçbir şekilde eğrilik etmemek gerektiğine göre, eğrilik görenin de, çoğunluğun düşündüğünün tersine, eğriliğe eğrilikle karşılık vermemesi gerekir.

c KRITON – Öyle.

SOKRATES – Kötülüğe gelince Kriton, etmeli mi etmemeli mi?

KRITON – Elbette etmemeli, Sokrates.

SOKRATES – Ya ne yapmalı? Kötülük gören birinin kötülükle karşılık vermesi doğru mudur, yoksa değil midir?

KRITON – Değildir elbette.

SOKRATES – Çünkü insanlara kötülük etmek, sanırım eğrilik etmekten hiçbir şekilde farklı değildir.

KRITON – Doğru söylüyorsun.

SOKRATES – Bir insan ne eğrilik etmeli ne de bir kötülük görse bile herhangi birine kötülükle karşılık ver-
d meli. Ama iyi düşün Kriton, bunları kabul ederken ken-

μὴ παρὰ δόξαν ὁμολογῇς· οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. Οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. Σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα πότερον κοινωνεῖς καὶ συνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς, ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; Ἐμοὶ μὲν
e γὰρ καὶ πάλαι οὕτω καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. Εἰ δ' ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε.

ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ συνδοκεῖ μοι· ἀλλὰ λέγε.

ΣΩ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ δίκαια ὄντα ποιητέον ἢ ἐξαπατητέον;

ΚΡ. Ποιητέον.

ΣΩ. Ἐκ τούτων δὴ ἄθρει. Ἀπιόντες ἐνθένδε ἡμεῖς
50 μὴ πείσαντες τὴν πόλιν πότερον κακῶς τινας ποιοῦμεν καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;

ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.

di düşüncene aykırı bir şeyi kabul etmeyesin. Çünkü biliyorum ki, pek az kimse bu düşünceleri doğru bulmuştur ve yine pek az kimse doğru bulacaktır. Bu düşünceye uyanlar ile uymayanların ortak bir görüşe varmaları imkânsızdır. Bunlar karşılıklı görüş ve davranışlarına bakıp birbirlerini küçümsemeden edemezler. Buna göre iyice düşün, sen de katılıyor ve aynı şekilde düşünüyor musun? Ve insanın eğrilik etmesi ya da eğriliğe yine eğrilikle karşılık vermesi veya kötülük gören birinin karşılığında kötülük yaparak kendini koruması hiçbir zaman doğru olmaz ilkesinden mi başlamalıyız? Yoksa sen bu ilkeye katılmıyor ve karşı mı çıkıyorsun? Ben eskiden de
e böyle düşünürdüm şimdi de, ancak sen herhangi bir şekilde farklı düşünüyorsan söyle ki ben de bileyim; yok hâlâ önceki görüşündeysen devam edeyim.

KRİTON – Eski görüşümdeyim ve seninle aynı düşünüyorum, devam et.

SOKRATES – Peki devam ediyorum, daha doğrusu sana soruyorum: Bir insan, doğruluğunda uzlaştığı şeyleri yerine getirmeli mi, yoksa karşısındakini aldatmalı mı?

KRİTON – Yerine getirmeli.

SOKRATES – Öyleyse buna göre düşün şimdi: devle-
50 tin kararını çiğneyerek buradan çıkıp gitmekle en az kötülük yapmamız gerekenlere kötülük yapmış olur muyuz, olmaz mıyız? Böyle yapmakla doğru olarak kabul ettiğimiz ilkelere bağlı kalır mıyız, kalmaz mıyız?

KRİTON – Sorduğuna cevap veremeyeceğim Sokrates, çünkü anlamadım.

ΣΩ. Ἀλλ᾽ ὧδε σκόπει. Εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ᾽ ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως ἐπιστάντες ἔροιντο· «Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ
b τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς διανοῇ τούς τε νόμους ἡμᾶς ἀπολέσαι καὶ σύμπασαν τὴν πόλιν τὸ σὸν μέρος; Ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλὰ ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται;» Τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; Πολλὰ γὰρ ἄν τις ἔχοι ἄλλως τε καὶ ῥήτωρ εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι· Ἢ ἐροῦμεν
c πρὸς αὐτοὺς ὅτι· «Ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινεν;» ταῦτα ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

ΣΩ. Τί οὖν, ἂν εἴπωσιν οἱ νόμοι· «Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμενεῖν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ;» Εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν ὅτι· «Ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ᾽ ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας
d χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. Φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; Οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς καὶ δι᾽ ἡμῶν ἔλαμβανεν τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέν σε; Φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφῃ τι ὡς οὐ καλῶς ἔχουσιν;» — «Οὐ

SOKRATES – Peki şöyle düşün: biz buradan kaçmak ya da nasıl adlandırmak gerekirse, çıkmak üzereyken yasalar ve devlet gelip karşımıza dikilerek ya "Söyle bakalım Sokrates, ne yapmak niyetindesin? Senin bu yaptığın, b biz yasaları ve devleti elinden geldiğince çiğnemek değil de nedir? Yoksa sence, mahkeme kararlarının güçsüz kaldığı, olur olmaz kişiler tarafından etkisiz bırakılıp bozulduğu bir devlet yine de varlığını sürdürebilir, ayakta kalabilir mi?" diye sorarlarsa, bu ve benzeri sorulara ne cevap veririz Kriton? Mahkeme kararlarının bozulmaması gerektiğini öngören bu çiğnediğimiz yasadan yana, özellikle bir hatip çok şey söyleyebilir. Buna karşılık c "devlet bize haksızlık etti, hakkımızda yanlış hüküm verdi" mi diyeceğiz, ne diyeceğiz?

KRITON – Zeus hakkı için evet, böyle diyeceğiz Sokrates.

SOKRATES – Peki ya o zaman yasalar: "Devletin koyduğu yasalara uymaktan başka, bu da mı vardı aramızdaki anlaşmada?" demezler mi? Ve biz bunları söylediğinde şaşırıp kalırsak, bakarsın: "Söylenenlere şaşma Sokrates, sen de her zaman soru-cevap yoluna başvurdud ğuna göre, cevap ver bakalım: bizde ve devlette ne suç buluyorsun da, bizi bozmaya kalkıyorsun? Bir kere her şeyden önce, seni biz var etmedik mi, sonra, baban biz yasalara uygun olarak anneni alıp seni dünyaya getirmedi mi? Söyle, yoksa içimizden evlilikle ilgili olan yasaları, iyi değiller diye suçluyor musun?" diyebilirler. Ben "suç-

μέμφομαι,» φαίην ἄν. «Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτοις τεταγμένοι νόμοι παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ
e παιδεύειν;» — «Καλῶς,» φαίην ἄν. — «Εἶεν· ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ᾽ οὕτως ἔχει, ἆρ᾽ ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ᾽ ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; Ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς δεσπότην εἴ σοι ἦν ἐτύγχανεν, ὥστε ἅπερ πάσχοις ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα
51 ἀντιλέγειν οὔτε τυπτόμενον ἀντιτύπτειν οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε, ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα καθ᾽ ὅσον δύνασαι ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελόμενος; Ἢ οὕτως εἶ σοφὸς ὥστε λέληθέν σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς
b καὶ παρ᾽ ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν

lamıyorum" derim. "Yoksa sen çocukların yetiştirilmesi ve eğitilmesiyle ilgili yasalardan mı yakınıyorsun? Seni de bu yasalar yetiştirdi. Ya da içimizden, babanın seni müzik ve jimnastik konusunda eğitmesini öngören yasa-
e lar mı kötü?" "Hayır, kötü değil," derim. "Peki, madem ki doğdun, yetiştirildin ve eğitildin, kendinin ve atalarının bizim kulumuz kölemiz olmadığını söyleyebilir misin? Bu böyle ise, artık sen, bizim sana yapmaya kalkıştığımız şeyleri aynen bize yapmanı doğru bulacak kadar bizimle eşit haklara sahip olduğunu mu sanıyorsun? Kuşkusuz babana ya da varsa efendine karşı aynı haklara, yani maruz kaldığın şeyleri karşılık olarak yapmak, sana kötü sözler söylenince karşılık vermek, vurulunca
51 vurmak gibi ve daha buna benzer başka haklara sahip olamazdın. Peki vatanına ve yasalara karşı, biz doğru bulup seni yok etmeye kalkarsak, sen de biz yasaları ve vatanı elinden geldiğince yok etmeye kalkacak ve bunları yapmakla doğru davrandığını mı söyleyeceksin? Sen ki gerçekle ve erdemle uğraştığını ileri sürersin. Yoksa sen, vatanın anneden, babadan, bütün öteki atalardan daha onurlu, daha saygıdeğer, daha kutsal, ayrıca hem
b tanrıların hem de aklı başında kişilerin gözünde daha büyük değerde olduğunu; vatan öfkelendiği zaman, baba-

πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ καὶ πάσχειν ἐάν τι προστάττῃ παθεῖν ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ
c ἡ πατρὶς ἢ πείθειν αὐτὴν ἢ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα;» Τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

ΣΩ. «Σκόπει τοίνυν, ὦ Σώκρατες,» φαῖεν ἂν ἴσως οἱ νόμοι, «εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν ἃ νῦν ἐπιχειρεῖς. Ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τ᾽
d ἦμεν καλῶν σοὶ καὶ τοῖς ἄλλοις πᾶσιν πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ὧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βούληται. Καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ᾽ ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι
e ἐκεῖσε ὅποι ἂν βούληται ἔχοντα τὰ αὑτοῦ.

dan daha çok ondan utanmak, çekinmek ve onun hatırını saymak, ya onu inandırmak ya da buyurduğunu yerine getirmek; ister dövülmeyi, ister zincire vurulmayı, ister yaralanmak ya da ölmek için savaşa gitmeyi buyursun, bu buyruğu ses çıkarmadan katlanmak gerektiğini bilmeyen bir bilge misin? Bütün bunları yerine getirmeli; doğrusu da budur zaten: yani uzaklaşıp gitmemeli, savaşırken geri çekilmemeli, safı bırakmamalı; tersine, savaş-
c ta, mahkemede, her yerde vatanın ve devletin buyurduğu şeyleri yerine getirmeli ya da yasal yollarla onu inandırmalıyız; ana babaya, hele vatana birazcık bile olsa karşı gelmemeliyiz." İşte yasalar böyle derlerse bunlara karşı ne diyeceğiz Kriton? Doğru söylediklerini değil mi?

KRITON – Sanırım öyle.

SOKRATES – Yasalar belki de şöyle derler: "Şimdi bir düşün bakalım Sokrates, biz bu giriştiğin şeyleri bize yapmaya kalkmanın doğru olmadığını söylerken haklı mı-
d yız, değil miyiz? Biz seni dünyaya getirmekle, yetiştirmek ve eğitmekle, sana da öteki yurttaşlara da elimizden gelen her şeyi sağlamakla kalmadık, Atinalılar arasından, yurttaşlar sırasına girip, devletin nasıl çalıştığını ve biz yasaların nasıl işlediğini gördükten sonra bizden hoşlanmayan birine, isterse varını yoğunu alıp dilediği yere gitme izini verildiğini de söyledik. Gerçekten de sizden biri, bizden ve devletten hoşlanmayıp bir koloniye gitmek ya da herhangi başka bir yere göç etmek isterse, biz yasalardan hiçbiri ne varını yoğunu alıp dilediği yere gitme-
e sine engeldir ne de böyle bir şeyi yasaklar.

Ὃς δ᾽ ἂν ὑμῶν παραμείνῃ ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν ἃ ἂν ἡμεῖς κελεύωμεν ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς εἰ μὴ
52 καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ. Ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι εἴπερ ποιήσεις ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ᾽ ἐν τοῖς μάλιστα.»

Εἰ οὖν ἐγὼ εἴποιμι· «Διὰ τί δή;» ἴσως ἄν μου δικαίως καθάπτοιντο λέγοντες ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. Φαῖεν γὰρ ἂν ὅτι· «Ὦ
b Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήρια ἐστιν ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις. Οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις εἰ μή σοι διαφερόντως ἤρεσκεν, καὶ οὔτ᾽ ἐπὶ θεωρίαν πώποτ᾽ ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε εἰ μή ποι στρατευσόμενος, οὔτε ἄλλην ἀποδημίαν ἐποιήσω πώποτε ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, οὐδ᾽ ἐπιθυμία σε ἄλλης πόλεως οὐδὲ ἄλλων νόμων ἔλαβεν εἰδέναι, ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν καὶ ἡ

İçinizden, bizim ne şekilde kararlar verdiğimizi ve devleti ne şekilde yönettiğimizi görerek burada kalan birinin, buyurduklarımızı yerine getirmede bizimle doğal olarak uzlaşmış olduğunu kabul ederiz ve bu kimse bize boyun eğmezse onun üç şekilde suç işlediğini ileri sürer-
iz. Öncelikle biz onu dünyaya getirtenler, yetiştirenler olduğumuz halde bize boyun eğmiyor. İkincisi boyun eğ-
52 meyi kabul ettiği halde ne boyun eğiyor ne de yanlış bir iş yapıyorsak bizi yanlış davrandığımıza inandırıyor. Üçüncüsü ise dediklerimizi yapmasını zorbalıkla buyurmayıp sadece önerdiğimiz ya da bizi inandırmasını veya buyrulanı yerine getirmesini kendisine bıraktığımız halde, bunların ikisini de yapmıyor. Aklından geçirdiklerini yapacak olursan Sokrates, bu söylediğimiz suçlamalara hedef olacaksın; hatta sen bütün Atinalılar içinde en büyük suçlu sayılacaksın."

Bunun üzerine ben "bu da neden" diye sorarsam, bana Atinalılar içinde bu anlaşmada en çok benim onlara uyuştuğumu söyleyip haklı olarak çatabilirler. Çünkü
b şöyle diyebilirler: "Hem bizden hem devletten hoşnut olduğunu gösteren büyük kanıtlarımız var Sokrates. Sen bu kente özel bir bağlılık duymasaydın, bütün öteki Atinalılardan farklı olarak devamlı burda yaşamazdın. Gerçekten de, bir kere Isthmos'a[14] gitmeni saymazsak, ne kutsal bir bayram için kentten ayrıldın ne de savaşa katılmak üzere sefere çıkman dışında[15] herhangi bir yere gittin; ne öteki insanlar gibi başka bir ülkeye yerleştin ne de başka devletleri, başka yasaları tanıma dileğine kapıldın; tersine biz ve devletimiz sana yettik; çünkü bizi bütün gönlünle seçtin, yurttaş olarak bizim buyruğumuz gereğince yaşamayı kabul ettin, üstelik çocukların bile

c ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ἠροῦ καὶ ὡμολόγεις καθ᾽ ἡμᾶς πολιτεύσεσθαι τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. Ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. Σὺ δὲ τότε μὲν ἐκαλλωπίζου ὡς οὐκ ἀγανακτῶν εἰ δέοι τεθνάναι σε, ἀλλὰ ἠροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ᾽ ἐκείνους τοὺς λόγους αἰσχύνῃ οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ ἐπιχειρῶν διαφθεῖραι, πράττεις
d τε ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς συνθήκας τε καὶ τὰς ὁμολογίας καθ᾽ ἃς ἡμῖν συνέθου πολιτεύεσθαι. Πρῶτον μὲν οὖν ἡμῖν τοῦτ᾽ αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ᾽ ἡμᾶς ἔργῳ, ἀλλ᾽ οὐ λόγῳ, ἢ οὐκ ἀληθῆ.» Τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν;

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. «Ἄλλο τι οὖν,» ἂν φαῖεν, «ἢ συνθήκας τὰς
e πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπὸ ἀνάγκης ὁμολογήσας οὐδὲ ἀπατηθεὶς οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ᾽ ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι ἀπιέναι εἰ μὴ ἠρέσκομεν ἡμεῖς μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. Σὺ δὲ οὔτε Λακεδαίμονα προηροῦ οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν
53 τῶν Ἑλληνίδων πόλεων οὐδὲ τῶν βαρβαρικῶν,

c hoşnut kaldığın için bu devlette dünyaya geldi. Dahası var, duruşma sırasında dileseydin kendine sürgün cezası verdirebilirdin ve şimdi devletin iradesi dışında giriştiğin şeyi, o zaman devletin rızasıyla yapmış olurdun. Oysa sen, ölüm cezasına çarptırıldığın halde bunu tasa etmiyormuş gibi böbürleniyor, ölümü sürgüne tercih ettiğini söylüyordun, şimdi o söylediklerinden utanmıyor, bozmaya kalkıştığına göre biz yasalara önem vermiyorsun; yurttaş olmak için bizimle üzerinde uyuştuğun şey-
d lere ve anlaşmalara aykırı olarak kaçmaya kalkışmakla, ancak en aşağılık bir kölenin davranacağı gibi davranıyorsun. Her şeyden önce bize şunun cevabını ver: Biz diyoruz ki sen sözde değil gerçekte bizim buyruğumuz gereğince yaşamayı kabul ettin: bu doğru mu, değil mi?" İşte bunlara cevap vereceğiz Kriton? Kabul etmeyeceğiz de ne yapacağız?

KRITON – Çaresiz kabul edeceğiz Sokrates.

SOKRATES – "Bize aykırı olarak, anlaşma ve uyuşma-
e ları bozmaktan başka ne yapıyorsun?" diyebilirler. "Oysa zorla anlaşmadın, aldatılmadın ve kısa zamanda karar vermeye zorlanmadın, madem ki bizden hoşnut değildin ve yaptığımız anlaşmaları doğru bulmuyordun yetmiş yıl zamanın vardı, istesen burdan çıkıp gidebilirdin. Oysa sen her fırsatta iyi yasalarla yönetildiklerini söylediğin halde, hiçbir zaman ne Ispartayı, ne Girit'i ne de Yunan
53 ya da barbar kentlerinden birini Atina'ya tercih etmedin.

ἀλλὰ ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δῆλον ὅτι· τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; Νῦν δὲ δὴ οὐκ ἐμμενεῖς τοῖς ὡμολογημένοις; ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ ἐκ τῆς πόλεως ἐξελθών.»

«Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτάνων τι τούτων τί ἀγαθὸν ἐργάσῃ σαυτὸν ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. Ὅτι μὲν
b γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον· αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς ἢ Θήβαζε ἢ Μέγαράδε —εὐνομοῦνται γὰρ ἀμφότεραι— πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ, καὶ ὅσοιπερ κήδονται τῶν αὐτῶν πόλεων ὑποβλέψονταί σε διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βεβαιώ-σεις τοῖς δικασταῖς τὴν δόξαν ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην
c δικάσαι· ὅστις γὰρ νόμων διαφθορεύς ἐστιν σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. Πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; Καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; Ἢ πλησιάσεις τούτοις καὶ ἀναισχυντήσεις διαλεγόμενος.... τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; Καὶ οὐκ οἴει ἄσχημον ἂν

Körü, topalı, her tür sakatı gerektiğinde kentten ayrılır, ama sen onlar kadar bile ayrılmadın. İşte bu senin öteki Atinalılardan daha çok bu devletten ve biz yasalardan hoşnut olduğunu açıkça gösteriyor: kim yasalarını beğenmediği bir devlete bağlanabilir? Şimdi o anlaşmalara bağlı değil misin? Bizi dinlersen Sokrates, bağlı kalmalısın: bu sayede şehirden çıkıp gitmeyecek, dolayısıyla gülünç duruma da düşmeyeceksin."

"Düşün bir kere, bu anlaşmaları bozmak ve bunlardan birini olsun yerine getirmemekle kendine ya da ar-
b kadaşlarına ne yararın dokunacak? Çünkü arkadaşlarının da sürülme, yurttaşlık haklarından yoksun bırakılma ya da malını mülkünü yitirme tehlikesine girecekleri apaçık ortada. Sen, Thebai[16] ya da Megara[17] gibi –çünkü her ikisi de iyi yasalarla yönetiliyorlar– en yakın kentlerden birine gidersen, orada onların anayasalarınca bir düşman gibi görüleceksin Sokrates; kentleri adına kaygılanacak ne kadar insan varsa, onlar senin bir yasa bozucu olduğunu düşünüp sana kuşkuyla bakacaklar. Ve sen yargıçların senin için verdikleri kararın doğru olduğunu
c kanıtlamış olacaksın. Çünkü yasaları bozan birinin, gençleri ve akılsızları da gerçekten bozduğu ortaya çıkacaktır. Ya iyi yönetilen devletlerden, dürüst insanlardan kaçabilecek misin? Ve bütün bunları yaptıktan sonra yine de senin için yaşamanın bir değeri kalacak mı? Yoksa onlara yanaşabilecek misin, sohbet etmekten utanmayacak mısın? Onlarla ne konuşacaksın Sokrates? Burada söylediklerini, yani erdemin, adaletin, hak hukukun ve yasaların insanlar için en değerli şeyler olduğunu mu söy-

d φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ᾽ ἐκ μὲν τούτων τῶν τόπων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κρίτωνος· ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα περιθέμενος ἢ διφθέραν λαβὼν ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες καὶ τὸ σχῆμα τὸ σαυτοῦ καταλλάξας· Ὅτι δὲ γέρων ἀνήρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος ὡς τὸ εἰκός, ἐτόλμη-
e σας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβάς, οὐδεὶς ὃς ἐρεῖ; Ἴσως ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. Ὑπερχόμενος δὴ βιώσῃ πάντας ἀνθρώπους καὶ δουλεύων, τί ποιῶν ἢ εὐωχούμενος ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν; Λόγοι δὲ ἐκεῖνοι οἱ
54 περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ποῦ ἡμῖν ἔσονται; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; Τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας ἵνα καὶ τοῦτο σου ἀπολαύσωσιν; Ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος βέλτιον θρέψονται καὶ παιδεύσονται μὴ συνόντος σοῦ αὐτοῖς; Οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. Πότερον ἐὰν εἰς Θετταλίαν ἀποδημήσῃς ἐπιμελήσονται, ἐὰν δὲ εἰς Ἅιδου ἀποδημήσῃς οὐχὶ ἐπιμελήσονται,

d leyeceksin? Peki Sokrates'in bu davranışının çirkin görünebileceğini düşünmüyor musun? Düşünmen gerekir. Ya da bu yerlerden uzaklaşacak, Tesalya'ya, Kriton'un dostlarının yanma mı gideceksin? Çünkü orası düzensizlik ve başıboşluk yuvasıdır. Orada herhangi bir kılığa bürünerek, bir posta ya da kaçan kölelerin giydikleri buna benzer bir şeylere sarınıp görünümünü ve tavrını değiştirerek gülünç bir şekilde hapisten nasıl kaçtığını anlatman belki de çok hoşlarına gidecek. Biri çıkıp da senin gibi yaşlı bir adamın, doğa yasaları gereğince artık yaşanacak pek az zamanı kalmasına rağmen, en önemli
e yasaları bile çiğneyerek hayata böyle sıkısıkıya sarılmanı ayıplamayacak mı? Hiç kimseyi incitmezsen, belki. Aksi halde Sokrates, layık olmadığın pek çok şey işiteceksin. Demek ki, bütün insanlara boyun eğerek ve bir köle gibi yaşayacaksın. Başka nasıl olabilir ki? Tesalya'da, sanki oraya bir şölene gitmiş gibi keyfederek mi yaşayacağını
54 umuyorsun? O zaman doğruluk ve başka erdemler için bize söylediğin o sözler ne olacak peki? Yoksa çocukların için, onları yetiştirmek ve eğitmek için mi yaşamak istiyorsun? Ne yani ? Onları Tesalya'ya götürüp bir yabancı olarak yetiştirecek ve eğiteceksin öyle mi; senden bir de bunu mu görecekler? Ya da onları burada bıraktığını düşünelim: sen başlarında olmadığın halde, nasıl olsa yaşıyorsun diye daha mı iyi yetişecek ve eğitim görecekler? Onlarla ilgilenecek olanlar senin dostlarındır. Peki, Tesalya gittiğinde ilgilenecekler de, Hades'e gidersen ilgilenmeyecekler mi? Dost olduklarını ileri sürenle-

b εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστιν τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι; οἴεσθαί γε χρή.»

«Ἀλλ᾽, ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου, ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς πάντα ταῦτα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. Ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ᾽ ἡμῶν τῶν
c νόμων, ἀλλὰ ὑπ᾽ ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ συνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ οἱ ἐν Ἅιδου νόμοι οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. Ἀλλὰ μή σε πείσῃ Κρίτων
d ποιεῖν ἃ λέγει μᾶλλον ἢ ἡμεῖς.»

Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν, καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐὰν λέγῃς παρὰ ταῦτα, μάτην

b rin gerçekten bir yararı dokunacaksa, sen nereye gidersen git, çocuklarınla ilgileneceklerine inanmalısın."

"Fakat Sokrates, gel biz seni yetiştirenleri dinle ve ne çocuklarını ne canını ne de herhangi başka bir şeyi doğruluktan üstün tutma: öyle ki, Hades'e gittiğinde oradaki yöneticilerin karşısında rahatça hesap verebilesin. Çünkü bizim dediklerimizi yapacak olursan, senin için de yakınların için de böylesine bir davranıştan daha iyisi, daha doğrusu, daha dine uygunu ne bu dünyada ne de gittiğinde, öteki dünyada olabilir. Şimdi ölüme gidersen haksızlığa uğramış olarak gideceksin: fakat bu haksızlığı c biz yasalar değil, insanlar yapmış olacak; oysa böyle utanç verici bir şekilde, haksızlığa karşı haksızlık, kötülüğe karşı kötülük yaparak, bizimle üzerinde uzlaştığın sözleşme ve anlaşmaları bozarak, en az kötülük etmen gereken kendine, dostlarına, vatanına ve bize kötülük ederek buradan çıkıp gidersen yaşadığın sürece biz sana kızacağız; öteki dünyada ise, elinden geldiğince bizi bozmaya kalkıştığını bildikleri için, kardeşlerimiz olan Hades yasaları seni bağışlamayacaklar. Sen bizi dinle, sakın d Kriton'a kanma!"

İşte sevgili dostum Kriton, iyi bil ki, bunları tıpkı Korybant'lar[18] misali kendinden geçenlerin *flavta*[19] seslerini duydukları gibi duyuyorum, bu sözler kulaklarımda yankılar uyandırıyor ve başka sözleri işitemez hale getiriyor. Yine şunu iyi bil ki, şimdi bana içimde duyduklarımın tersine ne söyleyecek olsan boşuna söylemiş olur-

ἐρεῖς. Ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

e ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

sun. Bununla birlikte yine de başaracağını umuyorsan, söyle.

KRITON – Söyleyecek bir sözüm yok Sokrates.

e SOKRATES – Öyleyse vazgeç Kriton; biz gene öyle hareket edelim, tanrı da öyle istiyor.

# NOTLAR

(Bu kısımda yer alan notlar yayına hazırlayan tarafından düzenlenmiştir.)

[1] Atinalılar her yıl baharda Apollon onuruna kutlanan bayramlara gemiyle bir *theoria*, yani bir elçi heyeti gönderirlerdi; geminin gidiş ve geliş süresi içinde ölüm cezalarının infazı bir yasa tarafından yasaklanmıştı. Sokrates geminin limandan ayrılmasından bir gün sonra mahkûm olmuştu ve gemi limana biraz gecikmeyle döndüğü için Sokrates'in hapishanede bulunma süresi otuz günü bulmuştu. Bkz. *Phaidōn*, 58A-B; Ksenophon, *Apomnēmoneumata Sōkratous*, IV, 8. 2.

[2] Attika'da, Atina'nın 65 km güney doğusunda yer alan bu burun Atina'ya gelen gemileri gözetlemek için kullanılırdı.

[3] Karş. *Symposion*, 177E.

[4] Zindanların idaresinden ve kaçan mahkumların yakalanıp mahkeme önüne çıkarılmasından sorumlu olan, kur'a ile seçilen on kişi ve bir yazmandan oluşan on bir kişilik heyet (*hendeka*). Bkz. *Phaidōn*, 59E, 85B.

[5] Sokrates'in düşlere verdiği önem konusunda bkz. *Apologia Sōkratous*, 33C; *Phaidōn*, 60E.

[6] Akhilleus'un kendisi için söylediği bu sözler düşüne girip Sokrates'e yurduna, yani Hades'e döneceği günü bildiriyor. Akhilleus yurdu Phthia'ya, Sokrates ise son durağı Hades'e üçüncü günde varacaktır. Burada yaşamı bir sürgün kabul eden Orpheusçuluğun izleri görülmektedir. Bkz. Homeros, *Ilias*, IX. 363.

[7] Öldürür ya da sürgüne gönderirler.

[8] Atina'ya.

[9] Platon, Simias ve Kebes'ten Philolaos'un öğrencisi delikanlılar olarak söz eder (*Phaidōn*, 61D, 89A). Ksenophon ise ikisini de Sokrates'in öğrencileri arasında sayar ve Thebai'den kalkıp Sokrates'in

yanına geldiklerini belirtir (*Apomnēmoneumata Sōkratous*, I. 2. 48, III. 11. 17).

[10] Sokrates'in mahkeme önündeki sözlerine gönderme yapılıyor. Karş. *Apologia Sōkratous*, 37C.

[11] Yunanistan'ın kuzeyinde yer alan bölge.

[12] Kriton hâlâ geminin o gün geleceğine inanmaktadır.

[13] Karş. *Gorgias*, 452A.

[14] Peloponnesos yarımadasıyla anakara Yunanistan'ını birbirine bağlayan kıstak.

[15] Potidaia, Amphipolis ve Delion'da yapılan savaşlar. Bkz. *Apologia Sōkratous*, 28E; *Symposion*, 219E, 221A.

[16] Boiotia bölgesinde yer alan ve onu Attika bölgesinden ayıran kent.

[17] Orta Yunanistan'da yer alan bir kent.

[18] *Korybantes*: Kybele rahipleri. Karş. *Symposion*, 215E.

[19] *Aulos*: İki kamışlı üflemeli bir çalgı.

ΚΡΙΤΩΝ

# Kriton

## Platon

Sokrates ölüme mahkûm edilmiştir; suçu devletin tanrılarını inkâr etmek, gençleri yoldan çıkarmaktır. Dostu ve öğrencisi Kriton, öteki dostlarının da yardımıyla, suçsuzluğuna inandığı Sokrates'i hapishaneden kaçırmak, ölümden kurtarmak ister. Ancak bu kaçırma eylemine engel olan dış etkenler değil, Sokrates'in kendisidir. Sokrates neden kaçmak istemez? İşte *Kriton* diyalogunda Sokrates bu nedenleri ortaya koyar ve kaçmak ya da sürgünü kabullenmek yerine neden Atina'da kalıp ölümü yeğlediğine inandırmaya çalışır Kriton'u.

İlk kez Yunanca-Türkçe olarak çevrilen bu küçük ama içeriği derin yapıtında Platon Sokrates'in, kaçıp yasaları çiğnemektense ölümü yeğ tutan bir filozofun son gününü ölümsüzleştirir ve böylece ölürken bile düşüncelerinden ödün vermeyen felsefenin bu büyük şehidini anıtlaştırır.

www.kabalci.com.tr

ISBN 975-997-086-4